BISETVS. Αμές γε λῶμεθα.] ἡμεῖς δὲ διαλλαγὰς ποιεῖσθαι βουλόμεθα, εἴπερ ἡμῖν τις ἐθέλῃ ἀποδοῦναι τοῦτο τὸ ἔγκυκλον. τί δὲ κυρίως τὸ ἔγκυκλον, ἄνω πολλάκις εἴρηται. νῦν δὲ μεταφορικῶς τὴν Πύλον οὕτω καλεῖ, ὥσπερ ἱμάτιόν τι κυκλοτερὲς, ᾧ τις τὸ σῶμα περιβάλλει. Πύλος δὲ, κατὰ τὸν Στέφανον ἐν τῷ περὶ πόλεων, πόλις ἐστὶν ἐν Μεσσήνῃ, ἣ καὶ Κορυφάσιον ἐκαλεῖτο. βλιμάττομες δὲ, βλιμάττομεν, ἤγουν βλιμάζομεν, ὅπερ νῦν ἀντὶ τοῦ ἐπιθυμοῦμεν λαμβάνεται. οὕτω γὰρ παρὰ τῷ Σουίδᾳ ἑρμηνεύεται. Κατὰ τίνα κινήσομεν;] κινήσομεν, ταράξομεν. τοῦτο δὲ λέγεται κατὰ τῶν Ἀθηναίων ὡς νεωτεροποιῶν ὄντων, καὶ τῇ τῶν ἄλλων πόλεων ἐλευθερίᾳ, καὶ ἡσυχίᾳ ἀεὶ ἐπιβουλευόντων, καὶ πάντα ταρασσόντων, ἵνα πλεονεκτῶσι. τοῦτο δὲ δῆλον ἐκ τῶν ἑξῆς λεγομένων

Νήφοντες εὐθὺς βλέπομεν ὅ,τι ταράξομεν.

Τὸν Ἐχινοῦντα.] Ἐχῖνος, ὡς λέγει Στέφανος, πόλις ἐστὶν Ἀκαρνανίας. καί τινες φασὶν Ἐχινοῦντα τὴν αὐτὴν εἶναι. Καὶ τὸν Μηλιᾶ.] Μῆλος, νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας, ἧς τὸ ἐθνικὸν Μηλιεὺς, καὶ διὰ τοῦ α Δωρικῶς Μαλιεύς. λέγεται δὲ ἀπὸ τῆς Μήλου Μήλιος, Μηλιεὺς, καὶ Μηλιακός. καὶ Μηλὶς, ἡ χώρα. τὸ δὲ Μηλιᾶ, Ἀττικῶς, ὡς τὸ Πειραιᾶ, παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. καὶ παρὰ Θουκυδίδῃ πολλάκις. τὰ δὲ σκέλη Μεγαρικὰ μεταφορικῶς καλεῖ τὸν τειχισμὸν τῶν Μεγάρων, τοῖς σκέλεσιν ἐοικότα, τουτέστι τὰ μακρὰ τείχη, πάλαι οἱ Ἀθηναῖοι μείζονος ἀσφαλείας ἕνεκα τὰ μακρὰ τείχη ἐς θάλασσαν ᾠκοδόμησαν. Ὦ λυσσάνιε.] ὦ μαινόμενε. Σ. λυσσάνιος οἱονεὶ ὁ λυσσώδης, καὶ λυσσαλέος. Ἐγὼ δὲ κοπραγωγῆν.] τὸν στίχον, καὶ ἐννοίας, καὶ μέτρου χάριν, οὕτω γραπτέον, Ἐγὼ δὲ κοπραγωγῆν γα, ναὶ τὼ Σιώ. κοπραγωγῆν ἀντὶ τοῦ κοπραγωγεῖν, ἀπὸ τοῦ κοπραγωγέω, ἤγουν κόπρον ἄγω, κόπρον ἐπιβάλλω, κοπρέω, εἴτε κοπρόω, καὶ κοπρίζω. γα Δωρικῶς ἀντὶ τοῦ γε. τὸ δὲ πρῴ μονοσυλλάβως, ἀντὶ τοῦ πρωΐ, κατὰ συναίρεσιν, ὡς καὶ ἐν τοῖς ἄνω δεδήλωται. πρωῒ, ἕωθεν, ἅμα τῇ ἡμέρᾳ, ἅμα τῇ ἕῳ. Ἐστύκαμες.] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ὁ Ἀθηναῖος γέλωτος χάριν Λακωνίζει, ἐστύκαμες λέγων ἀντὶ τοῦ ἐστύκαμεν. καὶ τὴν ἄγαν ἐπιθυμίαν τῆς συνουσίας, τούτῳ τῷ ῥήματι σημαίνει. ἁμοῖσι δὲ, ὁ Λάκων ἐπιφέρει, ἀντὶ τοῦ ἡμετέροις.

CHR. Βλιμάττομες.] Propriè βλιμάζειν est τοὺς ὄρνιθας ἐκ τῶν στηθῶν πειράζειν & ψηλαφᾶν, Inde ἐπιθυμεῖν teste Suda. Hesychius βλίμασις, τιτθῶν (puto στηθῶν vt prius) ἄλειψις, lego θλίψις. Paulò post τούτου τοῦ χωρίου, dele secundum τοῦ, nociuum metro. Πρώτιστα τὸν Ἐχινοῦντα.] Echinus vrbs Acarnaniæ quam Echinunta à quibusdam vocari ait Stephanus. Rhianus vocari ait ἔχιον ἄστυ. Existimant tamen locum sic dictum διὰ τὸ τραχὺ καὶ ὀξὺ, ab Echino animalculo. Sed quid ni à serpentibus? Nam Rhianus ἔχιον ἄστυ dixit. Idem Stephanus ait μῆλον etiam esse κώμην τῆς Ἀκαρνανίας præter alteram insulam Cycladum ex qua Diagoras Meliensis, Socrates & Aristophanes. Echinum, Lamiam & Maliacum sinum & Thaumacon in Thessalia describit Strabo lib. 9.

Οὐ ταῦτα δόξει τοῖσι συμμάχοισι νῷν;
Βινεῖν ἅπασιν. Λα. τοῖσι γοῦν ναὶ τὼ σιὼ
Ἁμοῖσι. Αθην. καὶ γὰρ ναὶ μὰ Δία Καρυστίοις.
Λυ. Καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε.
Ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
Ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
Ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε.
Κἄπειτα τὴν αὐτοῦ γυναῖχ' ὑμῶν λαβὼν
Ἄπεισ' ἕκαστος. Αθην. ἀλλ' ἴωμεν ὡς τάχος.
Λα. Ἄγ' ὅπα τὺ λῇς. Αθην. νὴ τὸν Δί' ὡς τάχιστά γε.
Λυ. Στρωμμάτων δὲ ποικίλων καὶ χλανιδίων καὶ ξυστίδων
Καὶ χρυσίων ὅσ' ἐστὶν ἐμοὶ
Οὐ φθόνος ἔνεστί μοι
Πᾶσιν παρέχειν φέρειν τοῖς
Παισὶν ὁπότ' ἂν τε θυγάτηρ
Τινὶ κανηφορεῖ,
Πᾶσιν ὑμῖν λέγω.
Λαμβάνειν τῶν ἐμῶν
Χρημάτων νῦν ἔνδοθεν
Καὶ μηδὲν οὕτως
Εὖ σεσημάνθαι, τὸ μὴ οὐχὶ τοὺς ῥύπους ἀνασπάσαι
Χ' ἅττ' ἔνδον ἦ φορεῖν.
Ὄψεται δ' οὐδὲν σκοπῶν εἰ μή τις

*Nostris placebunt ista militibus satis,*
*Pruritus omnes tentat.* LA. *Ecastor is est*
*Sensus meorum.* ATH. *Idem volunt Carystij.*
LVS. *Pulcre refertis, interim expurgemini,*
*Vt vos in vrbe muneremur fœminæ,*
*Et præbeamus lautia in cistis sita:*
*Iurati & illic mutuam fidem date,*
*Vnusq; vestrum quisq; sumpta coniuge*
*Exin facessat.* ATH. *Ergo eamus quàm citò.*
LA. *Duc vt voles tu.* ATH. *Per Iouem citissime.*
*LVS Stragulas sed discolores, siue rallas, lanulas*
*Quicquid & auri inest mihi, non*
*Inuideo hæc munera*
*Cunctis dare, liberisq;*
*Ferre, vt habeat puera filia canephora.*
*Nempe dico omnibus,*
*Ex meo sumere*
*Intus auro nunc licet:*
*Nil obseratum*
*Sic erit, quin signa vobis sit facul reuellere*
*Simul quod intus est*
*Ferre, nil videbit hic scrutator*